UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Nilammoni Presbytero. 293.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

τυραννικῶν βιαζόμενος, οὗτος ἐλευθέραν παντὸς αἰσχροῦ πάθους ἔχων τὴν ψυχὴν, τροπαίοις λαμπροῖς καὶ πολλοῖς ἐναγάλλεσθαι δίκαιος. ὁ δὲ ἐκείνοις μὲν κατακράτος ἁλοὺς, καὶ ὑπὸ τῶν βαρβαρικῶν τοῦ σώματος παθῶν τυραννούμενος· βαρβαρικοῖς δὲ τροπαίοις ἐναβρυνόμενος, οὗτος καὶ ἠλίθιος εἶναί μοι δοκεῖ, καὶ ἀνδραποδώδης. δειλίᾳ γὰρ καὶ φόβῳ μειζόνων κακῶν, εἰ καὶ παράδοξον καὶ εἰπεῖν καὶ ἀκοῦσαι, ἀνδρεῖος εἶναι δοκεῖ. φοβούμενος γὰρ δουλείαν ἢ ἑαυτοῦ ἢ τῶν παίδων πολεμεῖ.

& continentiam velut tyrannide opprimit, hic, cùm liberam ab omni vitioſa affectione animam habeat, id meretur, vt multis ac præclaris trophæis exultet. Qui autem, cùm ab illis prorſus conſtrictus teneatur, atque à barbaricis corporis vitiis tyrannide prematur, barbaricis tamen trophæis gloriatur, hic profectò mihi & ſtolidus, & ſeruilis animi eſſe videtur. Quippe ob maiorum malorum metum ac formidinem (etiamſi hoc & dictu & factu mirum ſit, fortis & ſtrenui viri ſpeciem gerit. Dum enim id timet, ne aut ipſe, aut ipſius filij ſeruiant, bellum gerit.

Δανιὴλ πρεσβυτέρῳ. σϟβ.

Τὸν λαμπρᾶς ἁπτόμενον ὑποθέσεως, καὶ τὸν νοῦν τῶν ἱερῶν γραφῶν ἑρμηνεῦσαι πειρώμενον, χρὴ τὴν μὲν γλῶτταν ἔχειν σεμνήν τε καὶ τρανὴν, τὴν δὲ γνώμην εὐσεβῆ τε καὶ εὐαγῆ ἀκολουθεῖν τε αὐταῖς, καὶ μὴ ἡγεῖσθαι, μηδὲ πρὸς τὸ οἰκεῖον βούλημα, τὸν ἐκείνων νοῦν ἐκβιάζεσθαι. τοῖς γὰρ παραποιεῖν καὶ παρερμηνεύειν τολμῶσι, κίνδυνος ἐπήρτηται μέγιστος εἰς αὐτὴν τὴν ψυχὴν βλέπων.

Danieli Presbytero. 292.

Eum, qui præclarum aliquod argumentum attingit, ac Scripturarum ſacrarum mentem interpretari conatur, hoc facere oportet, vt linguam quidem grauem & apertam ac dilucidam, mentem verò piam & ſanctam: eáſque ſequatur, non autem antecedat, nec ad arbitrium ſuum earum ſenſum torqueat. Iis enim, qui eas peruertere, ac ſiniſtra interpretatione deprauare non dubitant, maximum periculum, ad ipſam animam ſpectãs, impendet.

Νειλάμμωνι πρεσβυτέρῳ. σϟγ.

Φυσιολογεῖν μὲν ἐμοὶ οὐ πολλὴ σπουδὴ, ἵνα δὲ μή σε λυπήσω, γράφω· ὅτι διὰ τὴν τῶν κράσεων διαφορὰν, τινὲς μὲν τῶν μεθυόντων ὠχροὶ γίνονται καὶ θυμοειδεῖς· τινὲς δὲ πυρροὶ καὶ ὕφαιμοι, ἢ ὑπ᾽ ἐκστάσεως, τοῦ αἵματος ὑπονοστήσαντος εἰς τὸ βάθος, καὶ ὠχρὰν τοῦ προσώπου τὴν ἐπιφάνειαν καταλελοιπότος, ἢ τῆς κινήσεως τὸ ἐν βάθει θερμὸν εἰς τὴν ἐπιφάνειαν ἀνεκκαλεσαμένης. εἴτε δ᾽ οὕτως τις, εἴτ᾽ ἐκείνως εἴη κεκραμένος, δύναται ὁ λογισμὸς, καθάπερ ἡνίοχος ἄριστος, ἢ μὴ συγχωρῆσαι ὅλως κινηθῆναι τὸ πάθος, ἢ κινηθὲν μεταρρυθμίσαι ἐς ἁρμονίαν καὶ πρᾳότητα.

Nilammoni Presbytero. 293.

Mihi quidem de rerum natura diſputare haud magno ſtudio eſt: at ne te mœrore afficiam, hoc ſcribo. Ob temperamentorum diſcrimen fit, vt quidam ex his qui temulentia laborant, pallidi ac feroces exiſtant, quidam contrà rubicundi ac ſanguinei: quòd videlicet aut ob mentis emotionem ſanguis ad intimas partes ſe receperit, ac pallidam oris ſuperficiem reliquerit, aut quòd agitatio calorem eum, qui in intimis partibus ſitus eſt, ad extimas partes reuocarit. Cæterùm ſiue hoc, ſiue illo pacto quiſpiam captus ſit, poteſt ratio preſtantiſſimi cuiuſdam aurigę inſtar, aut, ne hæc vitioſa affectio excitetur, prohibere: aut eam, ſi excitata ſit, in concentum ac lenitatem traducere.